Ros Dok Rostocker Dokumentenserver
Dieses Werk wurde Ihnen durch die Universitätsbibliothek Rostock zum Download bereitgestellt.
Für Fragen und Hinweise wenden Sie sich bitte an: digibib.ub@uni-rostock.de

Nicolaus Heine

# Nymphidion Melos Quod Nuptiali Honori Ornatißimi nec non eximia eruditione, virtute, morumq[ue] gravitate praestantis iuvenis viri, Dn. Friderici Heinii, cum pudicißima lectißimaq[ue] virgine Catharina Swartkops, ... ac omnifaria praestanti virtute maxime conspicui viri Dn. Caspari Swartkopii Inclytae Wismariensium Reipub. Consulis ...

Lubecae: Ballhornius, 1603

http://purl.uni-rostock.de/rosdok/ppn789042754

Druck Freier Zugang PUBLIC DOMAIN

ΝΥΜΦΙΔΙΟΝ ΜΕΛΟΣ

QVOD

NVPTIALI HONORI

*Ornatissimi nec non eximia eruditione, virtute, morumq́ gravitate præstantis juvenis viri,*

# Dn. FRIDERICI HEINII,

*cum pudicissimâ lectissimaq́ virgine*

CATHARINA SWARTKOPS,

Amplissimi & prudentissimi, ac omnitaria præstanti virtute maxime conspicui viri

Dn. CASPARI SVVARTKOPII

Inclytæ VVismariensium Reipub. Consulis dignissimi, filia matrimonium contrahentis, gratulabundus accinuit,

NICOLAVS HEINIVS VV*ismariensis Megapol: pro tempore Gymnasij Lubecensis alumnus.*

LVBECÆ,

*Typis Iohannis Ballhornij, Anno*

1603.

1992 aus Einband ausgelöst,
Signatur nicht bekannt. Mi

UNIVERSITÄTSBIBLIOTHEK ROSTOCK

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn789042754/phys_0002
DFG

# ΕΥΧΗ ΓΑΜΙΚΗ.

Φοῖβε πάτερ βέλτιστε θεῶν, ὅνπερ τέκε Λητὼ
ἠΰκομος, πόδα σεῖο ταχέως ἐνθάδε οἶσε,
Εἶν χείρεσσιν ἔχων κιθάρην πολυδαίδαλον ἡδὺ
Ἐγκιθάριζε, τ' ἄειδε ἐμοὶ θαλαμηπόλον ὕμνον.
Ἐλθέμεν εἰς ἐμὸν αὐτίζω στήθεσφιν ἀοιδῆς
Εἵνεκα καὶ καθάπαξ ἄλαλον πλήθειν Ἀγανίππης
Ἀμβροσίης· ὅτ' ἄνις σεο ἀνθρώποιο ὀλεῖται
Φρὴν ἐπίηρος, ἰωὴ ἀμοιβὰς βραγχιάσειεν,
Μηδεὲν ἠδὲ χέλυς λιγέως φθέγξειεν ἀπηχὸς
Τοὔνεκα Λητογενὴς κῦς μ' ἐπιδέρκεο θᾶσσον
Ὕμμες καὶ πότνιαι Μοῦσαι παρνασίδα πέτρην
Ἠλίβατον καταλείπουσαι συναείσατ' ἔμοιγε,
Ἐν φρενὶ μευ μεγαλείην ἤδη ἔνθετ' ἀοιδὴν
Μάντιος, οὗ μολπῇσιν ἐπέσπετο θῆρτε ῥέεθρα,
Καλλιχόροις μελέεσσι γαμήλια δεῖπνα μελίσσω,
Ὑμείων τέχνης φίλος ὅσσα πένεσθ' ἐρευνᾷ.
Δεῦτε δ' ἤ ἐστε πάρεστέ τε ἴστε πάντα θέαιναι.
Ἀλλὰ τίη; τίνα οὐρανίην ῥα ὅρημαι ὀπωπὴν
Καὶ στεφάνην χρυσείην; ἠνίδε φοῖβος Ἀπόλλων
Μουσάων λιγύφωνον ἄγων χορὸν ἐξ Ἑλικῶνος
Ἔρχεται, ἐννέα θυγατέρες Ζηνὸς μεγάλοιο
Κληθεῖσαι θάλαμον ποτὶ ΝΥΜΦΙΕ σεῖο θέουσιν.
Ὧν ἀσκητὲ τεὶν χαίρω FΡΙΔΕΡΙΚΕ δικαίως
Πιερίδων κεδνῶν τρόφιμος καὶ κλεῖος ἀγαυὸν,
Συζυγίης ὅσιον τὸ ἐπὴν λέχος εἰσαναβαίνῃς,
Κουριδίην ἐρόεσσαν ἄγων πρὸς δῶμα γυναῖκα
Οὗτος τοῦ τερπνοῖο τρόπος πέλεται βιότοιο
Ὥριστος, καὶ τίμιος ἀθανάτοισι θεοῖσι.
Ὁππότε γὰρ ΘΕΟΣ οἰκτίρμωντε καὶ αὐτοαεὶ ὢν

Εἰν ἀρχῇ ποιήσειν ὅλον κόσμοιο θέατρον
Τερψινόου, ταυτῷ μελεδώνη δεύτερον ἔσκε,
Ὄφρα διοικήσῃ τε γάμον καὶ δεσμὸν ἔρωτος.
Ἦν πολυανθὲς ἔαρ, τέρενος θάλλεσκε κύκλοιο
Τιμή, καὶ χλοίαζε νεοχμὸν πάντοσε κάλλος.
Δὴ τότε λαιψηροὶ πρῶτον ζέφυροι παραπνεῦσαι
Ἤρξαντ᾽, ἔνθα γεγὼς εἰς σώματα στιλπνὰ τὸ οὐδέν.
Ὑψιμελάθρου ὕπαι νέον αἰθέρος ἠελίοιο
Εἶδος λαμπομένου ἐπὶ ἡδὺ γέλασε, καὶ ἁγνὸν
Οὔλυμπον κόσμεσκε τὰ τείρεα παμφανόωντα.
Πορφύρεα βλαστοῖσι θυώδεσι ἔνθα καὶ ἔνθα.
Ἄνθεα ἠβήσειε, καὶ ὃς λόγῳ ἔκτισε πάντα
Τοῖς ἀγαθοῖς σφετέροις πολλὸν κατὰ θυμὸν ἰάνθη.
Ἠέρι εἶν ὄρνις θαμέες, ποταμῶν τε ῥεέθροις
Ἰχθῦς νηχόμενοι παῖσαν, καὶ μῆλα ἀσελγῆ
Ἐν γαίῃσι διατρυφθέντα ἔλω μεγαδώρῳ.
Αὐτὰρ ἔτι ζῶον μακρῷ τὸ ὕπαρχον ἄμεινον
Ξυμπάντων γε ἀπῆτο· πρὸς φάος ἤλυθε πρῶτον
Ἄνθρωπος μεγάλοιο θεοῦ καὶ πλάσμα, καὶ εἰκών
Ἀλλ᾽ ὅγε οὐ μοῦνος πολυμόρφῳ ἤρκεσε κόσμῳ,
Εἰ μὴ ἔχεσκεν ἑταίρην ἠδὲ γυναῖκ᾽ ὁμόλεκτρον.
Ἔνθ᾽ ἀνέρος μὲν ἄφειλε Θεὸς πανυπέρτατος ἀρχός.
Πλευρήν, ἐκ κείνης καλὴ κτισθεῖσα ἄκοιτις.
Τοὺς δύο παγγενέτης μύθοις ἀγανοῖσι προσηύδα,
Ἀμφότεροι βιοτεύσατον εἰν ἑνὶ σώματ᾽ ἐόντες
Σῶμα ἕν, ἀλλήλοις ὑμῶν αὐξέσθω ἔπαρσις.
Ὣς φάτο. ἐκ τούτου ἀνάριθμα δὲ τέκνα γονήων
Κόσμον ἀπείρονα ἐμπίμπλασκε, τ᾽ ἔρως ἐπαγωγός
Πάντοθι ἄρτι ἑὸν πτερόεν τόξευμα ἰάλλει.
Ευτὶ σιδήρειός τε φέρει ὑπὸ ἤτορι πέτρην,
Εἴς τινα πανδαμάτωρ ἔρος οὐκ ἀφέηκεν ὀϊστούς.
Δὴ σοφὸς εἰς FΡΙΔΕΡΙΚΕ ὁ κυπρογενοῦς ἀφροδίτης

Ουτα

Ουτάμενος παρὰ κυκλοτεροῦς τόξου; κατάδεσμον
Ιμερόεντα μετέρχῃ συζυγέος βιότοιο.
Ες θάλαμον βαίνει σὸν ἀριπρεπὲς εἶδος ἔχουσα.
Παρθένος ἣν θαμινῶς πάρος ἐκ θυμοῖο πόθησας
Λαίφεα νῦν ἄνθελκε, τεὴ κύμβη λάβεν ὅρμον,
Τὴν πλάγξαν χαλεποὶ ἄνεμοὶ καὶ κύματα πόντου
Ηθήρευες ἅλις γε λίνοιο πολύπλοκον ἕρκος
Σύσαλε, τὴν ἐθέλεις τεᾷ ἀρκυῖ νύμφη ἔκυρσεν.
Ηγε τεὴν γλυκερὸν κλέος ἠμὲν μείλιχον ἦθος,
Ηδὲ τεὴ κραδίη τε φάος ζωή τε μελίφρων,
Ηγε ὑπηρέτις ἔσσεται ἀγαθὴ σεο οἴκου,
Ηδ' ἄλλων περὶ πολλὸν ἀριστεύουσα γυναικῶν.
Ως ἀστὴρ ῥόδεος προφέρων φαεσίμβροτον ἦμαρ
Ηρι μάλ' ὀρνύμενος πρώτιστον ἀπ' ὠκεανοῖο
Ακτίνεσσιν ἑῇσι παρήλυθε τείρεα μικκά.
Ειν ἐτέεσσι μαλοῖς σπουδαίως ἔμμαθεν αὕτη.
Ρέζεμεν ὅσσα ἔοικεν ἑοῖ, καὶ φεύγεμεν ὅσσα.
Πᾶς γὰρ ἄρουρα ἐεὺς [illegible]ὲν καρποὺς φέρει ἐσθλοὺς
Δένδρεον εὔχρηστον καὶ ἔχει μελιηδέα μῆλα.
Παμπόλλης ἀρετῆς πρόσλευσε τοκῆας ἀρείους.
Εξ ἄρα εὐκλεέος μνηστή σεο αἵματος ἔσαι.
Ηνὶ ἐϋστεφάνου γενετῆς ἀρετῆς πολύολβος,
Καὶ ὀνομαστὸς ὁμοῦ λίην ξύμπαντας ἐπ' ἄνδρας,
Οὗτοσὶ ἡλικίης ἀπὸ παιδείης ΝΕΟΝΥΜΦΟΝ
Ηγαγε πῶς πέλεται τέμνειν βιότοιο κέλευθον.
Αλλὰ καὶ εὐσεβίην τοι μήτηρ ἀμφαγαπῶσα,
Απερχὲς τάδε πάντα δίδαξε θύγατρα φιλίστην.
Αἴκε διασκοπέῃς μορφήν, πάνυ οὐδὲν ἔσσεται
Ο, τι φυγεῖν δύνασαι, ἄγαν αἰγλήεσσαν ὀπωπήν,
Ηδὲ πρόσωπον ἔχει ἐναλίγκιον ἀθανάτοισιν,
Καὶ στόμα λευκότερον νιφάδων τῶν χειμερινάων.
Αγνὴ ἀποκλίνει χαμάδις δειδήμονας ὦπας

Ἀστέρας αἰθερίοιο ὑπερβάλλοντας ὀλύμπου.
Σκέπτεο εἰς κεφαλὴν, πυρσοῦ χρυσοῖο πέλουσιν
Ξανθότεροι πλόκαμοι, καὶ τῆς χαρίτεσσιν ὅμοιοι.
Σκέπτεο πορφυρέης πόση ὅστὶ παρηΐσι κύπρις,
Μάρμαρον οἷον ὅτις δ' ἐλεφάντινον εἴαρι βάπτῃ·
Σκέπτεο εἰς γλαφυρὴν δειρὴν θ' ἁπαλόχροας ὤμους,
Καὶ στῆθος στίλβον πλέον ἢ γλυκὺ φῶς τὸ σελήνης.
Σκέπτεο φοινίκεα ζηλοῖ ῥόδα χείλεα λευκά,
Φιλλυρέην φαλίῳ νικῶσί τε χεῖρες ἀραιαί.
Σκέπτεο εἰς δὲ ἔτη, τὰ ἔτη πρὸς ἀθυρμαθ' ὑπάρχει
Ἄρτια, τοῖς ἐτέεσσιν ὅλως ΚΑΘΑΡΙΝΑ νεάζει.
Σκέπτεο πᾶσιν ὅση χάρις ἐν μελέεσσιν ἔνεστι.
Σφάλλομαι ἠὲ ἐγὼν, ἢ κάλλιμα δῶρα διδοῦσα
Ἀφρογένεια νυῷ τὸν κεστὸν ἔδωκεν ἑαυτῆς.
Τοὔνεκα οὐκ ἐθέλεις λοξοῖς ὄσσοισιν ὁρᾶσθαι
ΝΥΜΦΙΕ, ἀλλὰ κατὰ κραδίην σευ γήθεμεν ἄκρως,
Εἴπερ τοιαύτην ἄλοχον θεοειδέα γῆμας.
Αὐτὴ ἰσχύσει σκεδάσαι μελεδήματα πάντα
Ὅππε τεὸν κεῖται βεβολημένον ἦτορ ἀνίαις.
Ἤγε τεὴ ἔσω, καί τευ νόον ἦγε φορείτω.
Τῇ μόνῃ ἄρα ἀμφίπλεξον ἐῷ αὐχένι χεῖρας,
Ξὺν ταύτῃ ζώειν ἐρατὸν καὶ πότμον ἐπισπεῖν.
καὶ ΝΕΟΝΥΜΦΕ γύναι παρὰ ἐσθλοδόταο λαχοῦσα
Εὐτυχίην γε θεοῦ μεγάλην, ἥτις παρακοίτην
Νῦν [illegible]αβες κομιδῇ πινυτὸν καὶ ἐόντα ἄριστον,
Παντοίῃς ἀρετῆσι θεοδμήτοισι κλεεινόν.
Δέρκεο εἰς πρῶτον μνηστῆρος σεῖο γενέθλην·
Τῷ θεὸς ὑψιμέδων γένος οὐ νώνυμον ἔθηκεν
ΕΙΝΙΟΥ ἐκ γενεῆς τε καὶ αἵματος εὔχεται εἶναι,
Ἐστὶν ἀγακλεέειν τὸ γένος καὶ δῆλον ἅπασιν,
Ἀλλὰ δὴ ἠδυεπῶν μωσᾶν κλέος ἀμφιβόητον.
ΝΙΜΦΕΥΤΗΡΑ δὲ τὸν γέννησε πατὴρ περὶ ἄλλων

κῦδος

κῦδος ἔχων καὶ κείμενος ἐν ςομάτεσσιν ἁπάντων,
Ηδὲ ῥοδοπόλεως ὕπατος ἠ ὀφθαλμὸς ἄριστος,
Εἰδὼς κερδαλέην βουλήν τε ταχεῖαν ἐειπεῖν
ᾧ καὶ ἐπουρανίην σοφίην δωρήσατο Παλλάς.
Καὶ πολύμηλος ἐὼν, μεγάλαις ἀφνειὸς ἀρούραις.
Κυδιόων χρυσῷ τε τοσούτους πίονας ἀγροὺς
καρποτόκου πεδίοιο, τόσας περικαλλέας ὕλας,
Ηδὲ νομοὺς τόσσους κατέχει, κειμήλια τόσσα,
Ηματι ὅσσοι ὅλῳ ἰκτῖνες μηδὲ πέτονται.
ὕςερον ὦ ΝΥΜΦΗ κατά σὴν φρένα φράζεο γαμβρὸς
Ηθεα ὅτι φέρει θελκτήρια, πυκνὸν ὀθέυει
Εὐσεβίης τε σαοφροσύνης θ' ὁσίοιο βίοιο,
Καὶ γὰρ ἀνασκέπτου ὅτ' ἐφωμάρτησε δαΐφρων
Αὔλισι Πιερίδων αἰδοίης ἠπιοδώρων,
Ημεῦ ἐν ἀονίῃ μάλα πολλὰ μόγησεν ἀλωῇ
Εἰν Ἑλικῶνος ὄρει γε τὸν εὑρεσίτεχνος Ἀθήνη
Ετρεφεν, εὔοσμόν τε κατὰ ςόματος χέε νέκταρ,
Τοίνυν Χαῖρε χαρὰν μεγάλην ΝΕΟΝΥΜΦΕ μάκαιρα.
καλὸν ἄειδε μέλος καὶ σκίρταε εὔφρονι θυμῷ·
Αμφὶ δὲ τῷ ΜΝΗΣΤΗΡΙ φίλῳ βάλε πήχεε λευκόν,
Αδὺ φίλημα δίδου, καὶ χείλεα χείλεσι μίξον,
Τὸν περὶ κῆρι φίλει, καὶ τὸν τιμῆσι γέραιρε,
Αἰδοίως τούτου μύθοισιν ὑπήκοος ἴθι,
Εμμαπέως ποιοῦσα ἀεὶ κεχαρισμένα αὐτῷ,
Ουδέποτ' ἐξοργίζεό μιν χαλεποῖσιν ἔπεσσιν,
Αυτὰρ ἐπιςαμένως τοι τοὐτέου φέρε ἀρχήν,
Ο, τι θέλει κεῖνος σὺ θέλειν, μὴ ἐναντίον εἰπεῖν
Τῶδ' ὁλοὸν λόγον ἀμφότεροι ἕνα θυμὸν ἔχοντες.
Τοῦτο ἐπεὶ ΘΕΟΣ ἐν ζαθέῃσι κέλευσε βίβλοισιν,
Ζώετέ ῥα πράως εἰρήνην ἀμφαγαπῶντες,
Αἰδίοις κραδίας δεσμοῖσι συνειρέτω ὑμᾶς
Αλλήλαις τὰς φλοξὶ καῶν Υμέναιος ἐρώτων.

Ηΐθεοι

Ἤϊθεοι χάριτες παρὰ τὴν θαλαμήϊον εὐνὴν
Στήτωσαν, δ' ἔρις ἐγγενύδοιμος μακρὰν ἀπέστω.
Ἡμῶν ἀεζώοιο Θεοῦ φίλος υἱὸς ΙΗΣΟΥΣ
Ποικιλόδωρος ἄναξ, ἀγαθοῖς πάντεσσί τε ἀρχή,
Ψυχρὸν ὕδωρ διδότω μελιηδέα οἶνον ἀμείψας.
Ἄνθεα εὐώδη ποζάδιω λιπαρόχροος ἤδη
Ναρκίσσου τε κόμας παρέτω παρὰ δέμνιον αὐλῆς.
Ζώετον εὐ φιλέρω τε καὶ ἀντιβίοιο ὀϊζύς
Πότμου ἐπικφιδίου θαλάμοιο μὴ ἄλγος ἐφείη.
Αὔξετον, εὐθαλέη τέκνοις περικαλλέσιν οἶκος,
Τηλεθάει καθάπερ νηρίθμοις κῆπος ἀώτοις.
ΝΥΜΦΙ' ὑπερβιῶσαι τριγέροντος Νέστορος ἔννους,
ΝΥΜΦΑ Σιβυλλινοὺς χρονίους αἰῶνας ἰδέσθαι,
Ταῦτα ἐγὼ φιλίως ἐκ θυμοῦ ἐπεύχομαι ὑμῖν,
Χριστὸς ἀοσσητὴρ ὑπὸ εὐξαμένοιο ἀκούσον.

Μέχρι γε ταῦτα ἄεισα· ἀτὰρ λυροποιὸς Ἀπόλλων
Ὅς μοι πέμψεν ἐνὶ πραπίδεσσι μέλισμα ἀκιδνόν,
Παρνασοῦ κορυφὴν εἰς ὑψιπέτηλον ἄνεισι.
Οὕνεκα γαμβρὲ σ' ἐῶ χαίρειν μετὰ σεῖο δάμαρτος
Κυρίδ[illegible]ς, τάδε λεπτὰ νόου μου σήματα δέξαι
Εὐκελάδοις παίζωσι μέλη χορδῇσιν ἀμείνω
Τοῖσι δόσαν Μοῦσαι λιγυρῶν γλυκὺ νᾶμα ἀοιδῶν,
Ποῖα φέρω τούτοις νῶϊ ΝΥΜΦΙΕ ΝΥΜΦΑ γάνωθον.

Χρονοδίστιχον annum, menſem, diem nuptialis ſolennitatis & Sponſorum nomina continens.

*Sena qVater MaII LVX CæLI fVLget ab aVLa*
*HenI VInCLa ſVbIt qVâ Catharina torI.*

φιλοφρονήσεως ἕνεκα ξυνύφαινε.

Nicolaus Heinius.

...ιοιο ὑπερβάλλοντας ὀλύμπου.
...κεφαλὴν, πυρσοῦ χρυσοῖο πέλουσιν
...πλόκαμοι, καὶ τῆς χαρίτεσσιν ὅμοιοι.
...φυρέης πόση ἐστὶ παρειῇσι κύπρις,
... ὅτις δ' ἐλεφάντινον ἐισάρι βάπτη·
...λαγερὴν δειρήν θ' ἁπαλόχροας ὤμους,
...λβον πλέον ἢ γλυκὺ φῶς τὸ σελήνης.
...εα ζηλοῖ ῥόδα χείλεα λευρά,
...ίῳ νικῶσί τε χεῖρες ἀραιαί.
... ἔτη, τὰ ἔτη πρὸς ἀθυρμαθ' ...
...ρέεσσιν ὅλως ΚΑΘΑΡΙΝ...
... ὅση χάρις ἐιν μελέεσ...
...εγὼν, ἢ κάλλιμα...
... τὸν κεσὸν ἔδωκ...
...λεις λοξοῖς...
...ὰ καὶ...
...λλον...

...θε...
μνησ...
γένος
... τε καὶ ἀ... ...ναι,
...ένος καὶ δὴ...
...ωσαὰν κλέος ... ...τον.
...δὲ τὸν γέννησε πα... περὶ ἄλλων

κῦδος

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn789042754/phys_0009
DFG